# *Ακολουθία των Προηγιασμένων Δώρων*

*(Ψαλλομένου του Δοξαστικού, ανοίγουν τα Βημόθυρα και βγαίνει από τη βόρεια Πύλη ο Ιερέας, μαζί με θυμιατό, προηγείται λαμπάδα και γίνεται η μικρά Είσοδος.)*

**Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι**
Επιστάς τώ μνήματι Λαζάρου ο Σωτήρ ημών, καί φωνήσας τόν νεκρόν, ως εξ ύπνου εξανέστησας, απεσείσατο τήν φθοράν τής αφθαρσίας τώ πνεύματι, καί συνεξήλθε τώ λόγω, δεδεμένος κειρίαις, Πάντα δύνασαι, πάντα σοι δουλεύει Φιλάνθρωπε, πάντα σοι υποτέτακται, Σωτήρ ημών δόξα σοι.

**και νυν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.**
Την ψυχωφελή πληρώσαντες Τεσσαρακοστήν, βοήσωμεν, Χαίροις πόλις Βηθανία, πατρίς η του Λαζάρου, χαίρετε Μάρθα καί Μαρία, αι τούτου αδελφαί, αύριον Χριστός παραγίνεται, ζωώσαι ρήματι, τόν τεθνεώτα αδελφόν, ου φωνής ακούσας, ο πικρός καί ακόρεστος Άδης, φόβω τρομάξας, και μέγα στενάξας, απολύσει Λάζαρον, κειρίαις εσφιγμένον, ού τώ θαύματι, δήμος Εβραίων εκπλαγείς, μετά Βαΐων και κλάδων, αυτώ προσυπαντήσουσι, καί οφθήσονται ευφημούντες παίδες, ον φθονούσι πατέρες. Ευλογημένος ο ερχόμενος, εν ονόματι Κυρίου, Βασιλεύς τού Ισραήλ.

**<u>Σοφία, Ορθοί.</u>**

**Φως ιλαρόν αγίας δόξης αθανάτου Πατρός, ουρανίου, αγίου, μάκαρος, Ιησού Χριστέ, ελθόντες επί την ηλίου δύσιν, ιδόντες φως εσπερινόν, υμνούμεν Πατέρα, Υιόν, και άγιον Πνεύμα, Θεόν, Αξιόν σε εν πάσι καιροίς υμνείσθαι φωναίς αισίαις, Υιέ Θεού, ζωήν ο διδούς, διό ο κόσμος σε δοξάζει.**

**<u>Εσπέρας.</u>**

**Προκείμενον Ήχος πλ. β' Ψαλμός ρκγ'**
**Η βοήθεια ημών εν ονόματι Κυρίου.**
**Στίχ. Ει μη ότι Κύριος ην εν ημίν, ειπάτω δη Ισραήλ.**

## Γενέσεως το Ανάγνωσμα

**<u>Σοφία. Πρόσχωμεν.</u>**

(Κεφ. ΜΘ', 33 - Ν', 26)

Κατέπαυσεν Ιακώβ, επιτάσσων τοις υιοίς αυτού, και εξάρας τους πόδας αυτού επί την κλίνην, εξέλιπε, και προσετέθη προς τον λαόν αυτού, Και επιπεσών Ιωσήφ επί πρόσωπον του πατρός αυτού, έκλαυσε πικρώς επ' αυτώ, και εφίλησεν αυτόν. Καί προσέταξεν, Ιωσήφ τοις παισίν αυτού τοις ενταφιασταίς, ενταφιάσαι τον πατέρα αυτού, και ενεταφίασαν οι ενταφιασταί τόν Ισραήλ. Και επλήρωσαν αυτού τεσσαράκοντα ημέρας, ούτω γαρ καταριθμούνται αι ημέραι της ταφής, και επένθησεν αυτόν Αίγυπτος εβδομήκοντα ημέρας. Επεί δε παρήλθον αι ημέραι του πένθους, ελάλησεν Ιωσήφ προς τούς δυνάστας Φαραώ, λέγων. Ει εύρον χάριν εναντίον υμίν, λαλήσατε περί εμού εις τα ώτα Φαραώ, λέγοντες, ο πατήρ μουώρκισέ με, προ του τελευτήσαι αυτόν, λέγων. Εν τω μνημείω, ο ώρυξα εμαυτώ εν γη Χαναάν, εκείμε θάψεις, Νυν ουν αναβάς, θάψω τον πατέρα μου, και επανελεύσομαι.

**<u>Κέλευσον!</u>**

**Προκείμενον Ήχος δ' Ψαλμός ρκδ'**
**Οι πεποιθότες επί Κύριον ως όρος Σιών.**
**Στίχ. Ου σαλευθήσεται εις τον αιώνα ο κατοικών Ιερουσαλήμ.**

*(Ο ιερέας κρατώντας λαμπάδα αναμμένη και θυμιατό, στέκεται μπροστά από την Αγία Τράπεζα και σφραγίζει με τη λαμπάδα σταυροειδώς, εκφωνεί:)*

**<u>Σοφία, Ορθοί.</u>**

*(Μετά ο Ιερέας, στρεφόμενος προς το λαό και στέκεται μπροστά από την Ωραία Πύλη, εκφωνεί:)*

**<u>+ Φώς Χριστού φαίνει πάσι.</u>**

*(Ευλογών με τη λαμπάδα σταυροειδώς, επανέρχεται στο Ιερό.)*

### Παροιμιών το Ανάγνωσμα

**<u>Σοφία, Πρόσχωμεν.</u>**

(Κεφ. ΛΑ', 8-31)

Υιέ, άνοιγε σον στόμα λόγω Θεού, και κρίνε πάντα υγιώς, Άνοιγε σον στόμα, και κρίνε δικαίως, διάκρινε δε πένητα και ασθενή, Γυναίκα ανδρείαν τις ευρήσει; τιμιωτέρα δε εστι λίθων πολυτελών η τοιαύτη, θαρσεί επ' αυτή η καρδία του ανδρός αυτής, η τοιαύτη καλών σκύλων ουκ απορήσει, ενεργεί γαρ τω ανδρί εις αγαθά πάντα τον βίον, ευραμένη έρια και λίνον, εποίησεν εύχρηστα τοις χερσίν αυτής, Εγένετο ωσεί ναύς εμπορευομένη μακρόθεν, συνάγει δε αυτής τον πλούτον, και ανίσταται εκ νυκτών, και έδωκε βρώματα τω οίκω, και έργα ταις θεραπαίναις, θεωρήσασα γεώργιον, επρίατο, από δε των καρπών των χειρών αυτής κατεφύτευσε κτήμα.

**<u>+ Ειρήνη σοι.</u>**

**<u>Σοφία.</u>**

*(Ο ιερεύς, μετά το τέλος του αναγνώσματος, ιστάμενος προ της αγίας Τραπέζης και θυμιών ελαφρώς, ψάλλει.)*

**Κατευθυνθήτω η προσευχή μου, ως θυμίαμα ενώπιόν σου, έπαρσις των χειρών μου, θυσία εσπερινή.**

*(Ο ιερέας έρχεται στο νότιο μέρος της Αγίας Τράπεζας, θυμιατίζει και λέγει.)*

**Στίχ α'. Κύριε, εκέκραξα προς σε, εισάκουσόν μου, εισάκουσόν μου, Κύριε, Κύριε, εκέκραξα προς σε, εισάκουσόν μου, πρόσχες τη φωνή της δεήσεώς μου εν τω κεκραγέναι με προς σε.**

**Κατευθυνθήτω η προσευχή μου, ως θυμίαμα ενωπιόν σου, έπαρσις των χειρών μου, θυσία εσπερινή.**

*(Ο ιερέας έρχεται στο πίσω μέρος της Αγίας Τράπεζας, θυμιατίζει και λέγει.)*

Στίχ, β'. **Θου, Κύριε, φυλακήν τω στόματί μου, και θύραν περιοχής περί τα χείλη μου.**

**Κατευθυνθήτω η προσευχή μου, ως θυμίαμα ενωπιόν σου, έπαρσις των χειρών μου, θυσία εσπερινή.**

*(Ο ιερέας έρχεται στο βόρειο μέρος της Αγίας Τράπεζας, θυμιατίζει και λέγει.)*

Στίχ, γ'. **Μη εκκλίνης την καρδίαν μου εις λόγους πονηρίας του προφασίζεσθαι προφάσεις εν αμαρτίαις.**

**Κατευθυνθήτω η προσευχή μου, ως θυμίαμα ενωπιόν σου, έπαρσις των χειρών μου, θυσία εσπερινή.**

*(Ο ιερέας έρχεται μπροστά από την αγία Τράπεζα, λέγει.)*

**Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι και νυν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.**

**Κατευθυνθήτω η προσευχή μου, ως θυμίαμα ενωπιόν σου, έπαρσις των χειρών μου, θυσία εσπερινή.**

*(Ο Ιερέας μπροστά από την Αγία Τράπεζα επαναλαμβάνει.)*

**Κατευθυνθήτω η προσευχή μου.**

*(Εξελθών εις την Ωραίαν Πύλην, θυμιά την εικόνα του Δεσπότου Χριστού ψάλλων.)*

**ως θυμιάμα ενώπιόν σου.**

*(Ακολούθως θυμιά τις υπόλοιπες εικόνας, το Ναό και το λαό, ενώ ο χορός ψάλλει το υπόλοιπον.)*

**Έπαρσις των χειρών μου, θυσία εσπερινή.**

*(Ο Ιερέας μπροστά από την Αγία Τράπεζα, λέγει την Εκτενή.)*

## ΕΚΤΕΝΗΣ

- Είπωμεν πάντες εξ όλης της ψυχής και εξ όλης της διανοίας ημών είπωμεν.
- Κύριε παντοκράτορ ο Θεός των Πατέρων ημών, δεόμεθά σου, επάκουσον και ελέησον.
- Ελέησον ημάς ο Θεός κατά το μέγα ελεός σου, δεόμεθά σου, επάκουσον και ελέησον.
- Έτι δεόμεθα υπέρ των ευσεβών και ορθοδόξων Χριστιανών.
- Έτι δεόμεθα υπέρ του Πατρός ημών, Αρχιεπισκόπου ____.

**Ότι ελεήμων και Φιλάνθρωπος Θεός υπάρχεις, και σοι τω Πατρί, και τω Υιώ και τω την δόξαν αναπέμπομεν, Αγίω Πνεύματι, νυν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.**

**Εύξασθε οι Κατηχούμενοι τω Κυρίω. Οι πιστοί, υπέρ των Κατηχουμένων δεηθώμεν. Ίνα ο Κύριος αυτούς ελεήση. Κατηχήση αυτούς τον λόγον της αληθείας. Αποκαλύψη αυτοίς το Ευαγγέλιον της δικαιοσύνης. Ενώση αυτούς τη αγία αυτού Καθολική και Αποστολική Εκκλησία. Σώσον, ελέησον, αντιλαβού, και διαφύλαξον αυτούς, ο Θεός, τη ση χάριτι. Οι Κατηχούμενοι τας κεφαλάς υμών τω Κυρίω κλίνατε.**

**Ίνα και αυτοί συν ημίν δοξάζωσι το πάντιμον και μεγαλοπρεπές όνομά σου, του Πατρός και του Υιού και του Αγίου Πνεύματος, νυν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.**

- Όσοι Κατηχούμενοι, προέλθετε, οι Κατηχούμενοι προέλθετε, Όσοι Κατηχούμενοι, προέλθετε,μη τις των Κατηχουμένων.
- Όσοι πιστοί, Έτι, και έτι εν ειρήνη τού Κυρίου δεηθώμεν.
- Όσοι κατηχούμενοι, προέλθετε, οι κατηχούμενοι, προέλθετε, όσοι προς το φώτισμα, προέλθετε, εύξασθε, οι προς το φώτισμα, του Κυρίου δεηθώμεν.
- Οι πιστοί υπέρ των προς το άγιον φώτισμα ευστρεπιζομένων αδελφών και της σωτηρίας αυτών, του Κυρίου δεηθώμεν.
- Όπως Κύριος ο Θεός ημών στηρίξη αυτούς και ενδυναμώση, φωτίση αυτούς φωτισμώ γνώσεως και ευσεβείας, καταξιώση αυτούς εν καιρώ ενθέτω του λουτρού της παλιγγενεσίας, της αφέσεως των αμαρτιών και του ενδύματος της αφθαρσίας, αναγεννήση αυτούς δι' ύδατος και Πνεύματος, χαρίσηται αυτοίς την τελειότητα της πίστεως, συγκαταριθμήση αυτούς τη αγία αυτού και εκλεκτή ποίμνη.
- Σώσον, ελέησον, αντιλαβού και διαφύλαξον αυτούς, ο Θεός, τη ση χάριτι.
- Οι προς το φώτισμα τας κεφαλάς υμών τω Κυρίω κλίνατε.
- Ότι συ ει ο φωτισμός ημών και σοι την δόξαν αναπέμπομεν, τω Πατρί και τω Υιώ και τω Αγίω Πνεύματι, νυν και αεί και εις τους αιώνας των αιώνων.
- Όσοι προς το φώτισμα, προέλθετε, οι προς το φώτισμα, προέλθετε, όσοι κατηχούμενοι, προέλθετε, μη τις των κατηχουμένων. Όσοι πιστοί, έτι και έτι εν ειρήνη του Κυρίου δεηθώμεν.
- Αντιλαβού, σώσον, ελέησον, και διαφύλαξον ημάς, ο Θεός, τη ση χάριτι.
- Σοφία.

**Ότι πρέπει σοι πάσα δόξα, τιμή, και προσκύνησις, τω Πατρί, και τω Υιώ, και τω αγίω Πνεύματι, νυν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.**

- Έτι, και έτι εν ειρήνη του Κυρίου δεηθώμεν.

- Αντιλαβού, σώσον, ελέησον, και διαφύλαξον ημάς, ο Θεός, τη ση χάριτι.
- Σοφία.

**Κατά την δωρεάν τού Χριστού σου, μεθ' ου ευλογητός ει συν τω παναγίω, και αγαθώ, και ζωοποιώ σου Πνεύματι, νυν, και αεί και εις τους αιώνας των αιώνων. Αμήν.**

*(Ψάλλεται από τον χορό αργά, κατανυκτικά και διαβάζει και ο ιερέαςς μυστικά (εκ γ') μπροστά από την αγία Τράπεζα προσκυνών τρις.)*

**Νυν αι Δυνάμεις των ουρανών συν ημίν αοράτως λατρεύουσιν, Ιδού γαρ εισπορεύεται ο Βασιλεύς της δόξης.**

*(Εδώ διακόπτεται ο ύμνος, Γίνεται η είσοδος εν απολύτω σιγή, του Ιερέως φέροντος τον Αέρα επί της κεφαλής και κρατών τα Άγια, Διότι τα Δώρα είναι προηγιασμένα, ο λαός γονατίζει ευλαβώς, εγείρεται δε όταν εναποτίθενται επί της Αγίας Τραπέζης.)*

*(Ο χορός ψάλλων, εξακολουθεί το διακοπέν μέλος:)*

**Ιδού θυσία μυστική, τετελειωμένη, δορυφορείται, Πίστει καί πόθω προσέλθωμεν, ίνα μέτοχοι ζωής αιωνίου γενώμεθα, Αλληλούϊα.**

## ΤΑ ΠΛΗΡΩΤΙΚΑ

- Πληρώσωμεν την εσπερινήν δέησιν ημών τω Κυρίω.
- Υπέρ των προτεθέντων και προαγιασθέντων τιμίων δώρων, του Κυρίου δεηθώμεν
- Όπως ο φιλάνθρωπος Θεός ημών, ο προσδεξάμενος αυτά εις το άγιον και υπερουράνιον και νοερόν αυτού θυσιαστήριον εις οσμήν ευωδίας πνευματικής, αντικαταπέμψη ημίν την θείαν Χάριν και την δωρεάν του Αγίου Πενύματος δεηθώμεν.
- Υπέρ του ρυσθήναι ημάς από πάσης θλίψεως, οργής, κινδύνου και ανάγκης, του Κυρίου δεηθώμεν.
- Αντιλαβού, σώσον, ελέησον και διαφύλαξον ημάς, ο Θεός, τη ση χάριτι.
- Την εσπέραν πάσαν, τελείαν, αγίαν, ειρηνικήν και αναμάρτητον, παρά του Κυρίου, αιτησώμεθα.
- Άγγελον ειρήνης, πιστόν οδηγόν, φύλακα των ψυχών και των σωμάτων ημών, παρά του Κυρίου αιτησώμεθα.
- Συγγνώμην και άφεσιν των αμαρτιών και των πλημμελημάτων ημών, παρά του Κυρίου αιτησώμεθα.
- Τα καλά και συμφέροντα ταις ψυχαίς ημών και ειρήνην τω κόσμω, παρά του Κυρίου αιτησώμεθα.
- Τον υπόλοιπον χρόνον της ζωής ημών εν ειρήνη και μετανοία εκτελέσαι, παρά του Κυρίου αιτησώμεθα.
- Χριστιανά τα τέλη της ζωής ημών, ανώδυνα, ανεπαίσχυντα, ειρηνικά, και καλήν απολογίαν την επί του φοβερού βήματος του Χριστού αιτησώμεθα.
- Την ενότητα της πίστεως και την κοινωνίαν του Αγίου Πνεύματος αιτησάμενοι, εαυτούς και αλλήλους και πάσαν την ζωήν ημών Χριστώ τω Θεώ παραθώμεθα.

**Και καταξίωσον ημάς, Δέσποτα, μετά παρρησίας, ακατακρίτως, τολμάν επικαλείσθαι σε τον επουράνιον Θεόν Πατέρα, και λέγειν.**

**Πάτερ ημών, ο εν τοις ουρανοίς, αγιασθήτω το ονομά σου, ελθέτω η Βασιλεία σου, γενηθήτω το θέλημά σου, ως εν ουρανώ και επί της γης. Τον άρτον ημών τον επιούσιον δος ημίν σήμερον, και άφες ημίν τα οφειλήματα ημών, ως και ημείς αφίεμεν τοις αφειλέταις ημών. Και μη εισενέγκης ημάς εις πειρασμόν, αλλά ρύσαι ημάς από του πονηρού.**

**Ότι σου έστιν η Βασιλεία και η δύναμις και η δόξα, του Πατρός και του Υιού και του Αγίου Πνεύματος, νυν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.**

**+ Ειρήνη πάσι.**

**Και τω πνεύματί σου.**

**Τας κεφαλάς ημών τω Κυρίω κλίνωμεν.**

**Σοι, Κύριε.**

**Χάριτι και οικτιρμοίς και φιλανθρωπία του μονογενούς σου Υιού, μεθ' ου ευλογητός ει, συν τω παναγίω και αγαθώ και ζωοποιώ σου Πνεύματι, νυν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.**

*(Ο Ιερέας βάζει τα χέρια του κάτω από τον Αέρα, ακουμπά τον Άρτο με Ευλάβεια και φόβο, λέγει.)*

**<u>Πρόσχωμεν.</u>**

**<u>Τα προηγιασμένα Αγια τοις Αγίοις.</u>**
**Εις Άγιος, εις Κύριος, Ιησούς Χριστός, εις δόξαν Θεού Πατρός. Αμήν.**

**Γεύσασθε και ίδετε, ότι χρηστός ο Κύριος, Αλληλούϊα.**

## ΚΟΙΝΩΝΙΑ ΤΩΝ ΠΙΣΤΩΝ

**Μετά φόβου Θεού, πίστεως και αγάπης προσέλθετε.**

**Αμήν. Ευλογημένος ο Ερχόμενος εν ονόματι Κυρίου, Θεός Κύριος και επέφανεν ημίν.**

*(Όταν τελειώσει η μετάληψις των πιστών, ο Ιερέας ευλογών το λαό, εκφωνεί μεγαλοφώνως.)*

**Σώσον, ο Θεός, τον λαόν Σου, και ευλόγησον**

την κληρονομίαν σου.

*(Ο χορός ψάλλει, το εξής:)*

**Ευλογήσω τον Κύριον εν παντί καιρώ δια παντός η αίνεσις αυτού εν τω στόματί μου, Άρτον ουράνιον, και ποτήριον ζωής γεύσασθε και ίδετε ότι χρηστός ο Κύριος, Αλληλούϊα, Αλληλούϊα, Αλληλούϊα.**

**Ευλογητός, ο Θεός ημών.**

*(Και λαβών το άγιον Ποτήριον, κεκαλυμμένον λέγει.)*

**Πάντοτε νυν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.**

*(Ευθύς ο Ιερεύς απέρχεται εις την αγίαν Πρόθεσιν, αφήνει το άγιον Ποτήριον, επιστρέφει εις την αγίαν Τράπεζαν, και διπλοί το Αντιμηνσίον.)*

- Ορθοί, Μεταλαβόντες των θείων, αγίων, αχράντων, αθανάτων, επουρανίων και ζωο-ποιών φρικτών τού Χριστού Μυστηρίων, αξίως ευχαριστήσωμεν τω Κυρίω.
- Αντιλαβού, σώσον, ελέησον, και διαφύλαξον ημάς, ο Θεός, τη ση χάριτι.
- Τήν εσπέραν πάσαν, τελείαν, αγίαν, ειρηνικήν και αναμάρτητον αιτησάμενοι, εαυτούς και αλλήλους και πάσαν την ζωήν ημών Χριστώ τω Θεώ παραθώμεθα.

*(Ο Ιερεύς, λαμβάνει το άγιον Ευαγγέλιον, ποιεί δι' Αυτού Σταυρόν και αποτίθησιν αυτό επί του διπλωθέντος ήδη Αντιμηνσίου.)*

**Ότι συ ει ο αγιασμός ημών, και σοι την δόξαν αναπέμπομεν, τω Πατρί, και τω Υιώ και τω Αγίω Πνεύματι, νυν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.**

**Εν ειρήνη προέλθωμεν.**

**Του Κυρίου δεηθώμεν.**

**Κύριε, ελέησον (γ' ), Δέσποτα άγιε, ευλόγησον.**

*(Στέκεται προ της Δεσποτικής εικόνος του Χριστού)*

**Δέσποτα Παντοκράτορ, ο πάσαν την κτίσιν εν σοφία δημιουργήσας, ο δια την άφατόν σου πρόνοιαν και πολλήν αγαθότητα, αγαγών ημάς εις τας πανσέπτους ημέρας ταύτας, προς καθαρισμόν ψυχών και σωμάτων, προς εγκράτειαν παθών, προς ελπίδα αναστάσεως, ο δια τεσσαράκοντα ημερών πλάκας χειρίσας τα θεοχάρακτα γράμματα τω θεράποντί σου Μωσεί, παράσχου και ημίν, Αγαθέ, τον αγώνα τον καλόν αγωνίσασθαι, τον δρόμον της νηστείας εκτελέσαι, την πίστιν αδιαίρετον τηρήσαι, τας κεφαλάς τών αοράτων δρακόντων συνθλάσαι, νικητάς τε της αμαρτίας αναφανήναι, και ακατακρίτως φθάσαι προσκυνήσαι και την αγίαν Ανάστασιν, Ότι ηυλόγηται και δεδόξασται το πάντιμον και μεγαλοπρεπές όνομά σου, του Πατρός και του Υιού και του Αγίου Πνεύματος, νυν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.**

**<u>Είη το όνομα Κυρίου ευλογημένον από του νυν, και έως του αιώνος. (3)</u>**

**Του Κυρίου δεηθώμεν.**

**Κύριε ελέησον.**

**Ευλογία Κυρίου και έλεος έλθοι εφ' υμάς, τη Αυτού θεία Χάριτι και φιλανθρωπία, πάντοτε νυν και αεί και εις τούς αιώνας των αιώνων. Αμήν.**

## ΑΠΟΛΥΣΙΣ

**Δόξα σοι, Χριστέ ο Θεός, η ελπίς ημών, δόξα σοι.**

**Χριστός ο αληθινός Θεός ημών, ταις πρεσβείαις της παναχράντου και παναμώμου αγίας αυτού Μητρός, δυνάμει τού τιμίου και ζωοποιού Σταυρού, προστασίαις των τιμίων επουρανίων Δυνάμεων Ασωμάτων, ικεσίαις του τιμίου, ενδόξου προφήτου, Προδρόμου και Βαπτιστού Ιωάννου, των αγίων ενδόξων και καλλινίκων Μαρτύρων, των Οσίων και θεοφόρων Πατέρων ημών, (του αγίου του Ναού), των αγίων και δικαίων θεοπατόρων Ιωακείμ και Άννης, (τού Αγίου τής ημέρας) και πάντων των Αγίων, ελεήσαι και σώσαι ημάς ως αγαθός και Φιλάνθρωπος.**

**Δι' Ευχών των αγίων Πατέρων ημών, Κύριε Ιησού Χριστέ, ο Θεός ημών, ελέησον ημάς.**

**Αμήν.**